ὀλίγον χρόνον. μικρὸν χρόνον. ὅπερ μᾶλλον ἐν χρήσει. τὸ δὲ εἵνεκα συναπτέον πρὸς τὸ ἐλθεῖν. καὶ νῦν δηλοῖ τὸ, ἕως ἂν. μέχρις οὗ δεῦρο συνέλθωσι, αἱ ἐκ Βοιωτίας, καὶ αἱ ἐκ Πελοποννήσου γυναῖκες.

Γυναῖκας ἐλθεῖν. Μυ. πολὺ σὺ κάλλιον λέγεις.
Ἡδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
Λυ. Ὦ φιλτάτη Λάκαινα χαῖρε Λαμπιτοῖ.
Οἷον τὸ κάλλος ὦ γλυκυτάτη σου φαίνεται.
Ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου.
Κἂν ταῦρον ἄγχοις. Λα. μάλα γὰρ οἰῶ ναὶ σιὼ
Γυμνάδδομαί γε καὶ ποτὶ πυγὰν ἅλλομαι.
Λυ. Ὡς δὴ καλὸν τὸ χρῆμα τιτθίων ἔχεις.
Λα. Ἅπερ ἱερεῖον τοί μ' ὑποψαλάσετε.
Λυ. Ἡδὶ δὲ ποδαπὴ 'σθ' ἡ νεᾶνις ἡτέρα.
Λα. Πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία.
Ἵκει ποθ' ὑμέ. Λυ. νὴ Δί' ὦ Βοιωτία.
Καλόν γ' ἔχουσα τὸ πεδίον. Λα. καὶ νὴ Δία
Κομψότατα τὰν βληχώ γε παρατετιλμένη.
Λυ. Τίς δ' ἡτέρα παῖς. Λα. χαΐα μὲν ναὶ τὼ σιὼ
Κορινθία δ' αὖ. Λυ. χαΐα νὴ τὸν Δία
Δήλη 'στὶν οὖσα ταυταγὶ τἀντευθενί.
Λα. Τίς δ' αὖ ξυναλίαξε τόνδε τὸν στόλον
Τὸν τᾶν γυναικῶν. Λυ. ἅδ' ἐγώ. Λα. μυσιδδέ τὸ,
Ὅ τι λῇς ποθ' ἁμέ. Λυ. νὴ Δί' ὦ φίλη γύναι.
Μυ. Λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ' ἐστί σοι.
Λυ. Λέγοιμ' ἂν ἤδη. πρὶν λέγειν ὑμᾶς τοδί.
Ἐπερήσομαί τι μικρόν. Μυ. ὅ, τι βούλει γε σύ.
Λυ. Τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
Ἐπὶ στρατιᾶς ἀπόντας. Μυ. εὖ γὰρ οἶδ' ὅτι
Πάσαισιν ἡμῖν ἐστὶν ἀποδημῶν ἀνήρ.
Λυ. Ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας ὦ τάλαν
Ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτην.
Μυ. Ὁ δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.
Λα. Ὁ δ' ἐμός γα κἂν ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκά
Πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.
Λυ. Ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
Ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι
Οὐκ εἶδον οὐδ' ὄλισβον ὀκτωδάκτυλον.
Ὃς ἦν ἂν ἡμῖν σκυτίνη 'πικουρία
Ἐθέλοιτ' ἂν οὖν εἰ μηχανὴν εὕροιμ' ἐγὼ
Μετ' ἐμοῦ καταλῦσαι τὸν πόλεμον; Μυ. νὴ τὼ θεὼ

*Adsint mulieres.* MVR. *Euge dicis optimè.*
*Sed en Lacæna Lampito tibi aduenit.*
LVS. *Lacæna salue Lampito, ô charissima,*
*Mellita, qualis hæc tua est formositas!*
*Vt corpus habitum pollet, vt nitet cutis!*
*Vel colla tauri strangules.* LA. *Pol me labor*
*Exercet vsque, & podici adsultitant pedes.*
LVS. *O bellulæ istæ quas habes papillulæ!*
LA. *At vos manu explorate ceu sacrum solent.*
LVS. *At altera hæc iuuencula, vnde gentium.*
LA. *Veneranda multum Ecastor est Bœotia,*
*Et visit ad vos.* LVS. *per Iouem ô Bœotia*
*Horto eleganti prædita es.* LA. *Quin per Iouem*
*Benè compta vulsis pulegî ramusculis.*
LVS. *Quænam altera est puella?* LA. *per Deos bona est,*
*Atque è Corintho.* LVS. *stirps vetusta & optima,*
*Talisq; certè apparet & nata indidem.*
LA. *Verùm quis istum conuocauit ordinem*
*Tot fœminarum?* LVS. *Ego ipsa.* LA. *Quid nos velis*
*Iam fare.* LVS. *Fabor per Iouem ô dulcissima.*
MVR. *Dic serium illud quod te habere dixeras.*
LVS. *Dicam repentè, sed priusquam dixerim,*
*Est quod rogem vos paululum.* MVR. *vt lubet roga.*
LVS. *Nunquid patres desideratis liberûm*
*Exercitum nunc incolentes?* MVR. *nam procul*
*Cessere nostri ab omnibus nobis viri.*
LVS. *Iam quinque menses vir mihi infelix abest*
*Thracumq; in asperis seruat oris Eucratem.*
MVR. *Mensem at meus iam septimum exegit Pyli.*
LA. *Meus at cohortes fortè si reliquerit,*
*Statim arma sumit, & reuersus auolat.*
LVS. *Quin nulla mœchi restat hic scintillula,*
*Nam tempore ex quo nos fides Milesia*
*Prodens fefellit, ex eo ad palmos duos*
*Non vidi olisbum, (scorteum auxilium fuit)*
*Vultis ne mecum, si quid hic inuenero,*
*Bella ista prorsus soluere?* MVR. *Hoc, testor deos,*

BISET. Οἷον τὸ κάλλος.] εἰ καλῶς ἔχει ἡ γραφὴ, σημειωτέον ὅτι ἐν τῇ ἕκτῃ τούτου τοῦ στίχου χώρᾳ, παρὰ τὸν νόμον νῦν δάκτυλος ἀντὶ τοῦ ἰάμβου, ἢ τριβράχεος, ἢ ἀναπαίστου τίθεται. Ἀλλὰ ἴσως βέλτιον εἰ τὸ ὦ ἐκβληθείη, καὶ οὕτω γράφοιτο. Οἷον τὸ κάλλος σου γλυκυτάτη φαίνεται. ἢ οὕτως. Οἷον τὸ κάλλος ὦ γλυκυτάτη φαίνεται. τοῦ σου ἀποβαλλομένου. Εὐχροεῖς.) εὐσωματεῖς, καὶ καλὴν διὰ τοῦτο χροιὰν ἔχεις. ἤγουν καλὸν χρῶμα. σφριγᾷ δέ. νεάζει, ἀκμάζει, ἀνθεῖ, ἰσχυρόν ἐστι. Σ. σφριγᾷν κυρίως δηλοῖ τὸ τοὺς μαστοὺς γάλακτος μεστοὺς, καὶ λίαν οἰδοῦντας ἔχειν.

μετα-